δάσκονται τὸ χρήσιμον, ὥσπερ ἡ Μερόπη φησίν (Eur. fr. 458)

'αἱ τύχαι δέ με
μισθὸν λαβοῦσαι τῶν ἐμῶν τὰ φίλτατα
σοφὴν ἔθηκαν',

τί κωλύει διδάσκαλον ἄμισθον λαβόντα τὸν ἐχθρὸν ὠφεληθῆναι καὶ μαθεῖν τι τῶν λανθανόντων; πολλὰ γὰρ ὁ ἐχθρὸς αἰσθάνεται τοῦ φίλου μᾶλλον — 'τυφλοῦται' γὰρ 'τὸ φιλοῦν περὶ τὸ φιλούμενον', ὡς ὁ Πλάτων φησί (Legg. 731 e) —, τῷ δὲ μισεῖν μετὰ τοῦ πολυπραγμονεῖν καὶ τὸ λαλεῖν ἔνεστιν. ὁ
B Ἱέρων ὑπό τινος τῶν ἐχθρῶν εἰς τὴν δυσωδίαν ἐλοιδορήθη τοῦ στόματος. ἐλθὼν οὖν οἴκαδε πρὸς τὴν γυναῖκα 'τί λέγεις;' εἶπεν, 'οὐδὲ σύ μοι τοῦτο ἔφρασας;' ἡ δ' οὖσα σώφρων καὶ ἄκακος 'ᾤμην' εἶπεν 'ὅτι τοιοῦτο πάντες ὄζουσιν οἱ ἄνδρες'. οὕτω καὶ τὰ αἰσθητὰ [καὶ τὰ σωματικὰ] καὶ καταφανῆ πᾶσι παρὰ τῶν ἐχθρῶν μαθεῖν πρότερον ἔστιν ἢ τῶν φίλων καὶ συνήθων.

**8.** Ἄνευ δὲ τούτου τὴν περὶ γλῶτταν ἐγκράτειαν, οὐ μικρὸν ἀρετῆς μέρος οὖσαν, ὑπήκοον ἀεὶ τῷ λογισμῷ καὶ πειθήνιον ἔχειν οὐκ ἔνεστιν, ἂν μή τις ἀσκήσει καὶ μελέτῃ καὶ φιλοπονίᾳ τὰ κάκιστα τῶν παθῶν, οἷόν ἐστιν ἡ ὀργή, κατεργάση-
C ται. ἡ γὰρ 'ἀκουσίως ἐκπίπτουσα φωνὴ' καὶ τὸ 'ἔπος φύγεν ἕρκος ὀδόντων' καὶ τὸ 'ἔνια ἐξίπτασθαι τῶν ῥημάτων αὐτόματα' τοῖς ἀνασκήτοις μάλιστα θυμοῖς οἷον ὀλισθάνουσι καὶ διαρρέουσιν ἐπιγίγνεται δι' ἀσθένειαν † θυμοῦ, δι' ἀκρατῆ γνώμην, δι' ἕξιν θρασεῖαν. λόγου δὲ κουφοτάτου πράγματος βαρυ-